ἀφίκετο, οἱ δ' ἕτεροι κλίνουσι πρὸς τὸ δυτικὸν Κιοβὶς καὶ τοῖς μοαγγούροις ἐπιπίπτουσιν.

Ἐν ταύτῃ τῇ ἐπιπτώσει καὶ συμπλοκῇ ἡττῶνται ὑπὸ τῶν καγγάρων οἱ μοαγγοῦροι, καὶ τῆς σφετέρας χώρας αὐτοῖς ἐξίστανται. Τούτων δ' αὖθις τῶν μοαγγούρων ἡττηθέντων, οἱ μὲν ἐς τὸ δυτικὸν ἀποβλέπουσιν, καὶ ἐν τῷ Ἀτελ κοῦζου, ὅ ἐστιν, ἐν τῇ Βασσαραβίᾳ παρὰ τὸν ποταμὸν Τύραν ἐνιδρύονται, καὶ μετέπειτα μετ' οὐ πολὺν χρόνον, ἐς τὰς εὐρυχώρους πεδιάδας, τὴν εὐρύχωρον ὅλων, οὕτως εἰπεῖν, τῆς Εὐρώπης, κακῇ τύχῃ τῆς Εὐρώπης αὐτῆς, ἀφίκοντο· οὐ φθάνουσι γὰρ ἀφιγμένοι, καὶ φόβου καὶ φόνου καὶ ἀναστατώσεως τὸ πᾶν ἐμπίπλαται· βόρειά τε γὰρ καὶ δυτικὰ καὶ μεσημβρινὰ ταῖς ἀλλεπαλλήλαις καὶ λυσσομανέσιν ἐπιδρομαῖς ὑπέκειτο· ὅπου καὶ νῦν ἔτι οἱ δι' ἀνδρίαν καὶ ῥώμην κλεινοὶ ἀπόγονοι αὐτῶν μοαγγοῦροι σώζονται· οἱ δὲ ἕτεροι μέσην ἄρνυνται ἡμέραν, καὶ διαβάντες τὸν Τάναϊν, ἐν τοῖς μεταξὺ αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τȣ̃ τε καὶ τῆς Κασπίας καὶ τȣ̃ Καυκάσȣ ἵδρυνται, ὅπȣ καὶ νῦν ἐςὶν ἰδεῖν τῆς μητροπόλεως αὐτῶν Μοαγγυὸρ τὰ ἐρείπια.

Οἱ μὲν ἐν Παιονίᾳ κατασκηνώσαντες μοαγγῦροι, τραγικῶν δραμάτων, ἀνδρῶν οἰμωγῶν, γυναικῶν ὀλολυγῶν, παίδων ὀλοφυρμῶν, τὴν διεφθαρμένην Εὐρώπην ἐνεπίμπλασαν· αἱ δὲ ἀδελφαὶ αὐτῶν φυλαὶ, οἵτε καγγάραι ἐν τοῖς πέραν τῆς Κασπίας, καὶ οἱ ἔξω μοαγγῦροι ἐν τοῖς ἐντὸς, πάντας καὶ ἔτι τὰ μεσημβρινὰ τῆς δυτικῆς Ἀσίας παραπλησίων κακῶν ἐμπλήσειν ἔμελλον· οἱ μὲν τῶν σιδηρῶν πυλῶν διεξιόντες, οἱ δὲ τὸν Ιαξάρτην καὶ Ἀράξην περαιώμενοι, καὶ ὥσπερ παντοκλύςης χείμαῤῥος βοῤῥῆθεν καταρασσόμενοι· ἀλλὰ τὰ ἄμαχα ὅπλα τῶν θεολήπτων ἀράβων τὰς λυσσεπιδρομὰς αὐτῶν ἀπεῖργόν τε καὶ ἀπέκρουον, καὶ τὴν Ἀσίαν ἀνηκέςων κακῶν μέχρι τινὸς ἀπήλλαττον. Ἀλλὰ γὰρ τȣ̃ πλȣ́τȣ, τȣ̃ πατρὸς τῆς τρυφῆς, τῆς τῶν ἠθῶν διαφθορᾶς μητρὸς, τȣ̃ ἀνατρεπτικȣ̃ καὶ τῶν μεγάλων ἀρχῶν μοχλȣ̃, ἐκθηλύ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΕΝΗΜΕΡΩΣΗΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ναντος τὰς ἄραβας, καὶ τῦ ἐκθηλυσμῦ ἀποβαλεῖν τὰ μεγάλα καὶ ὑψηλὰ φρονήματα ποιήσαντος, συνέβη καὶ τοῖς ἄραψιν ἀνειμένοις ὗτω καὶ ἀκηδιῶσι, καὶ ὅλως παρειμένοις, ὅπερ καὶ πολλοῖς ἄλλοις, τὴν ὀχλεφετὴν, λέγω, ἀπώλεσαν εὐδαιμονίαν· μικρὸν τῦτο, ἀλλὰ σὺν ταύτῃ καὶ τὴν πραγματικὴν εὐδαιμονίαν, καὶ δῦλοι τῶν βαρβάρων, τῶν ποτὲ ἀργυρωνήτων γεγόνασι, μάθημα τοῖς μεταγενεςέροις, φοβερὸν μὲν, φροντίδος δὲ ὗδ᾽ ὀλίγης ἀξιῦμενον, μὴ ἀλεγόμενον. Τοιῦτον ἡ τρυφὴ περὶ ἣν καθόλυ ἀνοήτως σπυδάζομεν. Οι τῦρκοι, πρῶτον αἰχμάλωτοι, ἢ ἀνδράποδα ἀργυρώνητα δῦλοι, εἶτα οἰκέται καὶ ὑπηρέται οἰκίας, εἶτα σωματοφύλακες, ἀνοησίᾳ τῶν ἀράβων, τὴν ὑπὲρ ἑαυτῶν ἄμυναν ξένοις ἐμπιςευομένων, εἶτα ὑποταξίαρχοι, εἶτα ταξίαρχοι, διεπράξαντο τέλος βαθμηδὸν καὶ τὰ ἀνώτατα ἀξιώματα, καὶ τὸν κολοσσὸν τῆς ἀρχῆς τῶν ἀράβων ἀνέτρεψαν, περὶ τὴν ἑνδεκάτην ἑκατονταετηρίδα· καὶ οἱ καλίφαι, οἱ βασιλεῖς ἅμα καὶ μεγάλοι ἀρ-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

χιερεῖς, σκιάν τινα ἀρχῆς ἐκέκτηντο, ἐπιτρεπόντων καὶ ταύτην αὐτοῖς τῶν ἡγεμόνων τούρκων, πολιτευομένων τὰ πλήθη αὐτῶν, δεδεγμένα ἤδη τὸ μωαμεθανικὸν δόγμα, ὅπερ οἱ καλίφαι πρῶτοι κήρυκες καὶ διδάσκαλοι ἐτύγχανον. Ἕτεροι ἔτοι, φίλε, τοῦρκοι τῶν ἐκ τῆς ὑπερκασπίου διὰ τὸν φόβον τῶν μογγόλων, ἐς τὰ δύσβατα τῆς ἐλάσσονὰς Ἀσίας καταφυγόντων, καὶ χρόνῳ οὐ πολλῷ ἔπειτα τὴν κωνσταντινουπολιτῶν ἀρχὴν καταστρεψαμένων.

## Καβάροι.

Ἡττηθεῖσι δὲ καὶ ἐξελαθεῖσι τοῖς ὑπὸ χαζάρους μοαγγύροις, περὶ τὸν ὀγδοηκοστὸν ἔννατον τῆς ἐννάτης ἑκατονταετηρίδος ἐνιαυτὸν κατὰ τὸν Κωνσταντῖνον τὸν Πορφυρογέννητον, τὸν τὰ ὑπὲρ Πόντου καὶ Μαιῶτιν κάλλιον εἰδότα, ὡς παρ᾽ ὀλίγον σύγχρονον τυγχάνοντα, οἱ κύριοι καὶ προστάται αὐτῶν ἀρήγειν οὐκ ἠδύναντο· περὶ γὰρ τοῦτον τὸν χρόνον τὰ τὴν χαζαρικὴν ἀρχὴν συνιστῶντα φῦλα ἀναβρασμοῦ καὶ στά-

σει ἰδίᾳ κατεθορυβεῖτο καὶ διεταράττετο καὶ διεσχίζετο. Τρεῖς φυλαὶ τῶν δυνατωτέρων, ἃς καβάρας ἐκάλουν, τῷ μοναρχικῷ εἴδει τῆς ἀρχῆς ἐπαχθόμεναι, ἐπιβελὰς ἐπὶ καταλύσει τότε τυρεύουσι, καὶ ὅπλοις ἐκτελέσαι τὰ τυρευόμενα βουλόμεναι, ἐπανίςανται, καὶ πόλεμος ἐντεῦθεν ἐμφύλιος, ὃς πάντων πολέμων τυγχάνει μανιωδέςερος, καὶ μάχαι ποταμῶν αἱμάτων πρόξενοι. Περιγίνονται τέλος οἱ μοναρχικοὶ, καὶ οἱ ἡττημένοι πρὸς δυσμὰς τρέπονται, καὶ τοῖς πρὸ ὀλίγου τῆς αὐτῆς ὁδοῦ δι' ὅμοιον ἀτύχημα ἀψαμένοις, ἕπονται, καὶ ἐν Ρουμουνίᾳ γενόμενοι ἐκείνοις προςίθενται, καὶ τὴν ὀγδόην μοαγγυορικὴν φυλὴν ποιοῦσι τὴν ἐν μάχαις πανταχοῦ τὰ πρωτεῖα φέρουσαν.

## Λεβεδίας.

Ὁ δὲ τῶν χαζάρων βασιλεὺς ὑπονοῶν καὶ δεδίττων μὴ τῶν καβάρων ὡς ζύμης τοῖς μοαγγυόροις ἐμβληθέντων, καὶ ἀναζυμώσεως αὐτοῖς γενομένων αἰτίων, ἐξαφθείη

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἅπαν τὸ ἔθνος ἐς ἐπανάςασιν, καὶ πράγματά οἱ παράσχοι, Λεβεδία τῷ ἐθνάρχῃ τὴν ἡγεμονίαν τῦ ὑπηκόυ ἔθνες ἢ ἀρχεθναρχίαν προβάλλεται. Ησαν δὲ τότε καὶ πρότερον καὶ ὕςερον τῶν τε μοαγγυόρων καὶ τῶν ἄλλων ἐθνῶν οἱ ἐθνάρχαι, ἑκάςης φυλῆς ὡς θεὸν κατὰ κληρονόμιαν τὸν ἑαυτῆς θεωρύσης ἄρχοντα, ὐδὲν ἄλλο ἢ ἐπὶ ἄμυναν, ἢ ἐπὶ κατάκτησιν χώρας τὸ ἔθνος ἄγοντες. Λεβεδίας δὲ ὑπονοῶν καὶ δεδιὼς ἐπανάςασιν, ὡς ἀντὶ δημοκρατίας ἢ φυλαρχοκρατίας βασιλείαν εἰσάγων, Αλμύσην ὡς ἑαυτῦ τάχα ἀξιώτερον, ἀντιπροβάλλεται. Ψηφίζονται τοίνυν καὶ ἀναγορεύυσιν, ἐν Ρυμυνίᾳ ἔτι ὄντες, ἐν τῷ Ατελκυζῦ, διὰ τὸν Τύραν μικρὸν ποταμὸν ὡς πρὸς τὸν βόλγαν, ὀνομαζομένῳ, ὐ τὸν Αλμύσην, ἀλλὰ τὸν υἱὸν τῦ Αλμύση Αρπὰδ, ἐπὶ φρονήσει καὶ ῥώμῃ καὶ ἀνδρίᾳ περιώνυμον, ἐπὶ ἀσπίδος καθήμενον καὶ ἐς ὕψος αἴροντες, παρεςώτων καὶ τῶν τῦ βασιλέως χαζάρων πρέσβεων. Εμμένει δ᾽ ἔτι παρὰ τοῖς ἐν Ρυμυνίᾳ αἰγυπτίοις ἡ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀναγορευτικὴ τελετὴ αὕτη, τὸν ἑαυτῶν ψηφιζομένοις ἔφορον ἢ ἐπιςάτην· τρὶς γὰρ αὐτὸν χερσὶν ἐς ὕψος αἴροντες, οὕτως αὐτὸν ὑπὲρ ἑαυτῶν γνωρίζουσιν.

## Ἀ ρ π ά δ.

Ὁ τοίνυν Ἀρπὰδ τὴν ἀνωτάτω, ἀρθεὶς οὕτως, ἀρχὴν ἀράμενος καὶ ἐνδυσάμενος, τὰ πέραν τοῦ Ἴςρου, τὴν Βουργαρίαν, ὑποχείρια ποιῆσαι προτίθεται. Ἦρχε δὲ τηνικαῦτα τῶν βουργάρων ὁ διʼ ἀρετὴν πολεμικὴν καὶ σύνεσιν πολιτικὴν περίφημος Συμεὼν, ὁ ἐν Κωνςαντινουπόλει τὴν τότε ἐκπαιδευθεὶς παιδείαν, καὶ τὸ μοναχικὸν μὲν ἑλόμενος σχῆμα, ἔπειτα δὲ κακουμένους τοὺς βουργάρους διʼ ἀναξιότητα ἀρχόντων ὁρῶν, τοῦ καιροῦ δεξιῶς καὶ κατὰ γνώμην οἱ χωροῦντος, ἀποῤῥίψας τὸ ῥάσσον, ἀνθαιρεῖται καὶ ἀντενδύεται τὴν ἀλουργίδα, καὶ μυρία δεινὰ ποιεῖν τοὺς διδασκάλους οὐ παύεται, κάκιςα ἀποδιδοὺς αὐτοῖς διδασκάλια. Ἀρπὰδ τοίνυν, συμμαχοῦντος αὐτῷ τοῦ αὐτοκράτορος Λέοντος, περαιοῦται, κατὰ τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὀγδοηκοστὸν ὄγδοον ἐνιαυτὸν τῆς ἐννάτης ἑκατονταετηρίδος, τὸν Ἴστρον ἐπὶ Βουλγάρους συγγενὲς ἔθνος· καὶ γὰρ καὶ οἱ μουγγοῦροι ἀπόγονοί εἰσι τῶν μετὰ τοῦ πρεσβυτέρου υἱοῦ τοῦ Κοβρὰτ καταμεινάντων ἐν τῇ νέᾳ Βουλγαρίᾳ· καὶ ἀποτυγχάνει μὲν τοῦ σκοποῦ, λεηλατήσας δὲ τὴν χώραν, καὶ τοὺς αἰχμαλώτους τῷ συμμάχῳ πωλήσας, ὑπέστρεψεν ἐς τὸ Ἀτελκουζοῦ, τὴν Βασσαραβίαν. Συμεὼν δὲ μετ' οὐ πολύ, καιροῦ δραξάμενος, τίσασθαι βουλόμενος, περαιωθεὶς ἐς τὴν Ρωμανίαν πολλὴν αἱματοχυσίαν ἐποίησεν.

Ἀρπὰδ δὲ ἀποτυχὼν ἐν μεσημβρίᾳ, πρὸς τὸ δυτικοβόρειον τρέπεται, Ἀρνὸλδ τῷ βασιλεῖ τῆς Γερμανίας κατὰ τῶν ἀρχόντων τῆς Μοραβίας τυγχάνων σύμμαχος. Τηνικαῦτα Συμεὼν τιμωρήσασθαι βουλόμενος τὸν Ἀρπὰδ, Κάγγαρες ἔχων συμμάχους, μουγγούρους ἐχθροτάτους, ἐπιτίθεται τοῖς ὑπολοίποις μουγγούροις, ὀλοπορθεῖ τὸ Ἀτελκουζοῦ, καὶ πᾶν τὸ ἀπαντώμενον ἄνδρας καὶ γυναῖκας καὶ παιδία κα-

τασφάζει ἀνηλεέςατα· καὶ ἵνα ταῖς Κωνςαντίνȣ τȣ̃ Πορφυρογεννήτȣ χρήσωμαι λέξεσι, τὰς φαμιλίας αὐτῶν παντελῶς ἐξηφάνισε, καὶ τοὺς φύλακας τῆς χώρας κακὴν κακῶς ἀπεδίωξε. Μοραβίαν δὲ ἀκȣ́ων, ὦ φίλε, μή μοι τὴν νῦν Μοραβίαν ἐννόει, ἀλλὰ τὴν πέραν τȣ̃ Τισσȣ̃ χώραν· τὸ γὰρ πάλαι καθῆκεν ἡ Μοραβία ἐπὶ πολὺ μεσημβρινώτερον, μέχρις Ἴςρȣ. Κατοικȣ̃σι γὰρ οἱ τȣ̃ρκοι, φησὶν ὁ Πορφυρογέννητος, πέραν τȣ̃ Δανȣβίȣ ἐν τῇ Μοραβίᾳ, ἐκβαλόντες τȣ̀ς κυρίȣς (ἀσθενȣ̃ντας), ἔριδος αὐτοῖς (ἀδελφοῖς) καὶ ςάσεως ἐμπεσȣ́σης, καὶ πολέμȣ ἐκραγέντος ἐμφυλίȣ μετὰ τὸν τȣ̃ πατρὸς θάνατον.

Ἐπανακάμψας δὲ ὁ Ἀρπὰδ ἐς τὸ Ἀτελκεζȣ̃, καὶ ἔρημον τῶν ὑπολειφθέντων οἰκείων εὑρὼν, καταλιμπάνει τȣ̃το καὶ πρὸς τὸ δυτικοβόρειον τῆς Ρȣμȣνίας περὶ τὸν ποταμὸν Τισσὸν, καὶ περαιτέρω μετέπειτα, ἐς τὴν Παιονίαν τραπεὶς οἴχεται· ληςρορμητήριον γὰρ πολὺ κάλλιον καὶ ἐπιτηδειότερον τȣ̃ Ἀτελκεζȣ̃ ἡ Παιονία ἐτύγχανεν, ἐν μέσῳ πως τῆς Ευρώπης κειμένη,

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ πεδιάδας εὐρυτάτας καὶ εὐφορωτάτας ἔχεσα, τοῖς πολυαρίθμοις ἵπποις τῶν ἱπποφάγων μοαγγυόρων νομὰς ἀρίςας. Οὕτω μὲν ἕν οἱ μοαγγυόροι ταῖς καλλίςαις καὶ εὐρυτάταις πεδιάσι τῆς Εὐρώπης ἐνίδρυνται. Οὕτω, φίλε, ἔχει τἀνθρώπινα, καὶ κλιμακοποιὸς ὁ Θεὸς κατὰ τὸν κοινὸν λόγον, καὶ μὴ ἐπαιρέσθωσαν οἱ μέγα δυνάμενοι· ὕννων γὰρ καὶ ἀβάρων καὶ αὐτῶν τῶν κυρίων τῦ ἔθνες τῶν μοαγγυόρων, τῶν χαζάρων, καὶ τῶν καγγάρων ἔτι τῶν τὲς μοαγγυόρες νικησάντων ἐ δὲ τὸ ὄνομά πε αὐτῶν ἐν τῷ τῆς οἰκεμένης θεάτρῳ σώζεται· μοαγγυόρων δὲ μέγα ἔτι καὶ νῦν τὸ ὄνομα καὶ τὸ κλέος, καὶ τῆς Εὐρώπης τὸ μεσαίτατον καὶ κάλλιςον ἐςὶν αὐτοῖς ἐμβιωτήριον.

## Κ α γ γ ά ρ ο ι.

Καταλιπόντας δὲ τὲς μοαγγυόρες τὰ ἀνατολικὰ μεσημβρινὰ τῆς Ρεμενίας, διαδέχονται οἱ καγγάροι καὶ μέχρις Ολτε καὶ Τισσᾶ ἐκτείνονται, καὶ ἐς ὀκτὼ νομὰς, θέ-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ματα παρὰ τῷ Πορφυρογεννήτῳ ὀνομαζομένους, ἡ ὑπ' αὐτῶν κατακτηθεῖσα χώρα διῄρηται· ἐπειδὴ καὶ ὀκτὼ φυλαρχίαι ἦσαν αἱ πρωτεύουσαι, ὑποφυλαρχίαι δὲ πολλῷ πλείους. Ἦσαν δὲ οἱ νομοὶ οὗτοι, Χοπὸν, ἡ νῦν Μολδόβα καὶ ὁ Ρωμανικὸς ἀγρός· Γύλα, ἡ ἀναμεταξὺ Τισσοῦ καὶ Αρδὲλ Μοαγγυορία· Ηρτημ, τὸ νῦν Αρδέλ· Χοραβόη, τὰ ἀναμεταξὺ Τύρα καὶ Βορυσθένους· Ταλματ, Τζοσον, Κολπε, Τζηρ, ἀναμεταξὺ Βορυσθένους καὶ Ταναΐδος. Ην δὲ ἕκαστος νομὸς περιελάμβανε χώραν, ἣ δεῖ τὴν αὐτὴν ἔκτασιν καὶ τὰ αὐτὰ ὅρια ἔχειν οἴεσθαι. Ωκουν δὲ τὰ ἄκρα τῆς ἀρχῆς, τὸ Γύλα, τὸ Ηρτημ καὶ τὸ Τζὲρ αἱ φυλαὶ Καγγὰρ ἢ Καγγλὶ, αἱ παρὰ τοῖς Καγγάροις εὐγενέσταται καὶ ἀνδρειόταται.

Πλησιάζουσι δὲ τοῖς τούρκοις φησὶν ὁ Πορφυρογέννητος, πρὸς μὲν τὸ μεσημβρινὸν μέρος, οἱ βούλγαροι, ἐν ᾧ καὶ διαχωρίζει αὐτοὺς ὁ Ιστρος ποταμός· πρὸς δὲ τὸ βόρειον, οἱ πατζινάκαι. Εστι δὲ ἡ τοῦ Τραϊανοῦ γέφυρα κατὰ τὴν τῶν τούρκων ἀρ-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

γὴν, καὶ ἀναπλέοντι τὸν ποταμὸν ἔπειτα, ὁ πύργος τȣ̃ ἁγίȣ Κωνςαντίνȣ. Βόρειον ἐννοεῖ ἐνταῦθα ὁ Πορφυρογέννητος τὸ Ἀρδέλ. Ἔοικε δὲ ὅτι οἱ καγγάροι πρȣχώρησαν μὲν μέχρι Τισσȣ̃, μέρος δὲ μόνον τῆς ἐντὸς Τισσȣ̃ Μοαγγυορίας ἐφύλαξαν. Τὰ δὲ δύο Μπανᾶτ ὑποχείρια ἐποίησαν οἱ μοαγγύοροι, κἀν τοῖς χρόνοις τȣ̃ Πορφυρογεννήτȣ αὐτοῖς ἀνῆκον· καὶ τὸ Γύλα μέρος τȣ̃ Ἀρδὲλ τινὲς φασὶν εἶναι· τινὲς δὲ, τὴν ἐντὸς Τισσȣ̃ Μοαγγυορίαν ἐθέλȣσιν εἶναι. Οὐ δεῖ δὲ ἀπορεῖν δι' ὑπαντωμένας πολλὰς παραπλησίας ἀσυμφωνίας καὶ φαινομένας ἀντιφάσεις ἐν ἱςορίᾳ, μάλιςα δὲ ἐν τῇ τῶν ἐθνῶν τȣ́των· ȣ̓δὲ δεῖ περιορίζειν τοῖς χθὲς καὶ πέρισυ γενομένοις, τὰ αὔριον καὶ μεθαύριον γενησόμενα· ȣ̓δ' ἀναγινώσκοντας ἵςασθαι ἐν τοῖς ἅπαξ ποτὲ γενομένοις, καὶ τȣ́τοις ἐθέλειν ἐξηγεῖσθαι ἅπαντα· ȣ̔́τω σοὶ πολλαὶ ἀντιφάσεις ὑπαντήσονται, τὰ ἀναμεταξὺ γενόμενα ἀγνοȣ̃ντι. Οὐδὲν ἀςατώτερον, ἐν ἐκείνοις μάλιςα τοῖς χρόνοις, καὶ ἐντὸς τȣ̃ Ἰςρȣ, τῶν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δρίων καὶ τῆς τῶν ἀρχῶν καὶ νομῶν ἐκτάσεως. Τοῖς δὲ ὑπὲρ τὸν Βορυσθένη νομοῖς γείτονες ἦσαν, πρὸς βοῤῥᾶν, οἱ ῥῶσσοι· πρὸς δὲ τὰ ἕτερα μέρη, χαζάροι, ὖζοι, ἀλανοὶ καὶ χερσωνῖται. Ἀλλὰ καὶ οἱ ἐν Γαλίτζῃ σλάβοι τηνικαῦτα ἤρχοντο ἐς τὴν Καγγαρίαν ἵππων ἐς ὤνησιν, ἢ οἱ καγγάροι ἐπορεύοντο ἐς Γάλιτζαν ἐς ἵππων πρᾶσιν· καὶ μὴ οἶυ τὺς καγγάρυς ἀνεπιμίκτυς τοῖς γείτοσιν ἄλλως, ἐκτὸς ἐπιδρομῶν καὶ λεηλασιῶν· ἐνεπορεύοντο γὰρ μετὰ τῶν γειτόνων, ὅτοι τε καὶ τὰ ἀδελφὰ τύτοις ἔθνη, εἰρήνης ὕσης, καὶ τὰς συνθήκας πολλῶν ἄλλων μᾶλλον ἐσέβοντο. Η Καγγαρία, ἐπὶ Πορφυρογεννήτυ, ἀρχαμένη ἐξ Ἰσρυ μέχρι τῦ Σάρκελ καθῆκε φρυρίυ, κειμένυ παρὰ τὰς πηγὰς τῦ Ταναΐσκυ, ὅπερ ἐκτίσθη παράτινος ἀρχιτέκτονος ἕλληνος, ὃν ὁ αὐτοκράτωρ τῶν κωνςαντινυπολιτῶν τῷ βασιλεῖ τῶν χαζάρων ἐπεπόμφει. Οι δὲ δὴ ἐκ τῆς δι' ὕδατος ἐκςρατείας ἐπὶ τὴν Βυργαρίαν, ἣν ὁ Σβετοσλὰβ βασιλεὺς τῶν ῥώσσων ἐπεποιήκει, ὁρμῶν ἐκ Κιὸβ καὶ συμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μαχῶν τῷ αὐτοκράτορι τῶν κωνσταντινοπολιτῶν, συμπεραίνοντες ὅτι ἡ Οὐγγαρία μέχρι Βορυσθένους καθῆκε, συμπεραίνουσι τὰ ἀσυμπέραστα, τὰ πάλαι τοῖς νῦν τεκμαιρόμενοι. Μετὰ δὲ ταῦτα καὶ ἕτεραι πέντε φυλαὶ ἔξω ἰκόμεναι, προσετέθησαν τοῖς οὐγγάροις, καὶ αἱ τρισκαίδεκα ἤδη φυλαὶ ὀκτὼ νομὰς ἐνέμοντο.

Κωνσταντῖνος ὁ Πορφυρογέννητος, ᾧ ἕπεσθαι δεῖ μᾶλλον, ἡνίκα ἂν περὶ οὐγγάρων καὶ μισαγγάρων λόγος ᾖ, ὡς συγχρόνῳ σχεδὸν ὄντι καὶ τὰ ἐντὸς Ἴστρου κάλλιον εἰδότι, ἢ ἑτέροις πολλῷ ὕστερον συγγράψασιν, ἑκατονταετηρίσιν ὅλαις, καὶ παραδόσεις βαρβαρικὰς, καὶ ᾄσματα ποιητικῆς φαντασίας ὄζοντα, βάσιν τἀληθοῦς ἐν ἱστορίᾳ λαμβάνουσι, τὴν τῶν οὐγγάρων δύναμιν ἐν πολλῷ ἐτίθετο, καὶ τὴν συμμαχίαν αὐτῶν πολλῷ κρείττω καὶ ὠφελιμωτέραν τῆς ἑτέρων ὁποιωνοῦν ᾤετο, καὶ φοβεροὺς εἶναι καὶ οὕτω μόνον τοῖς πολεμίοις ἡγεῖτο. Ταύτῃτοι καὶ τὸν υἱὸν τὰ καθήκοντα διδάσκων, τὴν αὐτῶν φιλίαν περὶ πολλοῦ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ποιεῖσθαι συνεβούλευε. Τρυφῆς ὄζουσιν οἱ λόγοι τοῦ Κωνσταντίνου, καὶ αἱ συμβουλαὶ ἐς πάνυ τοι σωτήριαι. Οὐαὶ τοῖς βασιλεῦσι, τοῖς ἐς ἀλλογενεῖς καὶ ξένους τὰ σφέτερα ἀνακρεμῶσι πράγματα, καὶ ἐκ τούτων μόνον καὶ οὐχ ὑφ' ἑαυτῶν, πρωτευόντως γε, τὴν ἀσφάλειαν καὶ τὸ ἐπιφόβους καὶ σεβαστοὺς εἶναι περιμένουσι.

Τὰ μὲν δὴ μέχρι τοῦ Ολτου τῆς μεσημβρινῆς Ρωμανίας ὑποχείρια ἦσαν τοῖς βουλγάροις· τὰ δὲ πέραν τοῦ Ολτου καὶ τὸ τεμεσβαρινὸν Μπανὰτ μέχρι τοῦ Κέρες ποταμοῦ, τῷ ἡγεμόνι Γλαὰδ τοῦ Βιδίνου ὑπῆκεν· ὑπὲρ δὲ τὸν Κέρες ποταμὸν Μενομερὸθ ἡγεμὼν χαζάρος ἡγεμόνευεν, ὃν οἱ βούλγαροι ἐξῶσαι καὶ ἀφελεῖν τὴν χώραν ἢ ὑποτάξαι οὐκ ἠδυνήθησαν, ἀνδρείως ὑπὲρ τῆς ἀρχῆς αὐτοῦ ἀμυνόμενον· τῶν δὲ παρὰ τὸν Τισσὸν ἀπὸ τῆς ἐμβολῆς αὐτοῦ ἐς τὸν Ιστρον, ἕτερος ἡγεμὼν βούλγαρος ἦρχε, μητρόπολιν τῆς αὐτοῦ ἀρχῆς ἔχων τὸ Μουνκὰς ἐν τῷ βορείῳ τοῦ Γύλα κείμενον. Οἱ δὲ ἡμέτεροι ῥωμοῦνοι ἔν τισι μέρεσι τοῖς σλάβοις μεμιγμέ-

νοι, οὗ μὲν ὑπήκοοι, οὗ δὲ ὑπερασπιζόμενοι, οὗ δὲ καὶ πάντη ἀνεξάρτητοι, καὶ διὰ ἐρυμνότητα καὶ διὰ γειτονίαν ἴσως καὶ φιλίαν οἰκονομούμενοι, καὶ τῇ γεωργίᾳ καὶ κτηνοτροφίᾳ προσεδρεύοντες, ἐν ἠρεμίᾳ πάντως ἐτύγχανον· οὐ γὰρ ἂν ἄλλως ηὐξήθησαν ἐπὶ τοσοῦτον, ὥστε καὶ ἐστρατολογημένα ῥουμνικὰ στρατεύματα ἐν πολλοῖς μέρεσι τῆς Εὐρώπης ὁρᾷν. Οἱ μὲν οὖν περὶ τὸ Κλὲζ ὑπὸ ἴδιον ἐθνάρχην ἢ βοεβόδαν ἐτύγχανον, ἀνεξαρτήτως καὶ ἐλευθέρως πολιτευόμενοι, μέχρις οὗ ἀφικόμενοι οἱ μοαγγοῦροι, τὴν ἀνεξαρτησίαν αὐτοὺς ἀφείλοντο· ἕτεροι πάλιν συνηρεφεῖς μὲν ὕλας καὶ ὄρη φυλακτήρια, τόξα δὲ καὶ ἀκόντια καὶ ξίφη ἀμυντήρια, καὶ πολλὴν ἐν τούτοις ἐπιτηδειότητα ἔχοντες, ἠμύνοντο οὕτω τοὺς κατὰ τῆς σφετέρας ἐπιβουλὰς ποιοῦντας ἐλευθερίας, καὶ ἐς τὴν σφῶν χώραν ἐσβαλεῖν βίᾳ ἐπιχειροῦντας. Τινὲς πάλιν ῥουμοῦνοι τῶν ἀνωτέρω πλεονεκτημάτων στερούμενοι, διεσπαρμένοι τε καὶ κωμηδὸν οἰκοῦντες ἐν ἡμιυπογείαις καλύβαις, ἔν τε τῷ Γόλᾳ καὶ τῷ Ἀρδὲλ καὶ



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῇ λοιπῇ Ῥαμυνίᾳ, καὶ ὑπόφοροι τοῖς βαρ-βάροις ὄντες, ἐβίων ἀναμεξὺ αὐτῶν ἐν ἀσφαλείᾳ καὶ ἐν ἰδίοις αὐτῶν ἐθίμοις, τῶν βαρβάρων διὰ τὸ μεταναςατικὸν δῆλων μὴ χρηζόντων. Ἄλλοι πάλιν ἐν ταῖς παλαιαῖς αὐτῶν ἐπικρατείαις Μαραμὸς, Ἀλμένς καὶ Φαγαρὰς, καὶ ταῖς ἐν ἄλλοις μέρεσι μικροτέραις, τῆς ἐλευθερίας αὐτῶν ἀπή-λαυον· ςρατολογίαι τε παρ' αὐτοῖς τε καὶ τοῖς ὑπὸ τὲς ἐπήλυδας ἐγίνοντο· ὁρῶμεν γὰρ, ἐν τῷ εἰκοςῷ τετάρτῳ ἐνιαυτῷ τῆς ἑν-δεκάτης ἑκατονταετηρίδος, ὑπὸ κωνςαντι-νεπολίτας ἐς Ἰταλίαν ςρατεύοντας, ἄλλοτε πάλιν ἐπὶ Μοαγγυορίαν· καὶ ἐν τῷ ἐννενη-κοςῷ ἕκτῳ, ὑπόμισθοι ςρατιῶται τῷ βα-σιλεῖ τῆς Τζεχίας ἐτύγχανον ῥεμῦνοι, τζιο-μπάνοι ὀνομαζόμενοι. Ἐν δὲ τῷ τεσσα-ρακοςῷ καὶ ὀγδοηκοςῷ ἕκτῳ τῆς δωδεκάτης ἑκατονταετηρίδος λεηλασίας ποιῦσιν ἐν Πόλσκῃ, ἐκμαθόντες τὸν τῶν παρὰ σφίσιν ἐπηλύδων βίον· καὶ ἐν τῷ ἑξηκοςῷ ἕκτῳ τῆς αὐτῆς ἑκατονταετηρίδος Ἐμμανεὴλ ὁ αὐ-τοκράτωρ τῶν κωνςαντινεπολιτῶν ςρατῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΤΡΟΠΗΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΡΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ϐεμένων τῶν παρὰ τὸν Πόντον κατὰ μοαγγυόρων ἐχρήσατο, ὡς κατωτέρω ὀψόμεθα. Εν δὲ τῷ ἐννενηκοςῷ τῆς αὐτῆς, καὶ ἐν τῷ εἰκοςῷ ὀγδόῳ τῆς ἐφεξῆς ἑκατονταετηρίδος, καὶ κατὰ τῶν μισθέντων σφας πολλάκις οἱ βέλτιςοι ϐεμῦνοι τοῖς ὅπλοις ἐχρήσαντο, ὁμοθρησκείας ὀλίγον πάντη φροντίζοντες.

## Θ έ ϐ τ ο ς.

Ο ἡγεμὼν βύργαρος ὁ τῶν ἐντὸς Ιςρϐ ἄρχων ἀπὸ τῦ Ολτϐ μέχρι τῦ Κέρες, ἀντιςῆναι τοῖς ἐπελευσομένοις οἱ μοαγγυόροις βϐλόμενος, μεγάλην ἐπὶ τϐτῳ συναγείρας ςρατιὰν ἐκ βϐργάρων, καγγάρων καὶ ϐεμένων, μάχῃ τοῖς μοαγγυόροις συμπλέκεται παρὰ τὸν ἐν Μπανὰτ ποταμὸν Τέμεσιν, καὶ ἡττᾶται ὑπὸ Θϐύτϐ, ςρατηγῦ μοαγγυόρϐ καὶ ἥρωος ἐν τοῖς τότε χρόνοις· καὶ σπεύδει μὲν περαιῦσθαι τὸν Ιςρον, μὴ φθὰς δὲ, παραδίδοται τῷ νικήσαντι. Οι δὲ κάτοικοι τῆς Ορσόβης ἰδόντες τὸ γεγονὸς, ἀνοίγϐσι τὰς πύλας τῷ νι-



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κήσαντι, καὶ ὁ Θέϐτος ἐντεῦθεν ἀμφοτέρων τῶν Μπανὰτ ἐγκρατὴς γίνεται. Μονομερῦ δὲ ὁ χαζάρος βϐληθεὶς καὶ αὐτὸς ἀντιςῆναι Θεϐτῳ, πίπτει ἀμυνόμενος, καὶ μαχόμενος, καὶ τὴν ζωὴν καὶ τὴν χώραν τῷ Θεϐτῳ ἀπόλλυσι.

Πυθόμενος ἔπειτα ὁ Θέϐτος ὅτι ἐν τῷ βορείῳ τῦ Αρδὲλ ἡ πολύχρυσος ῥϐμϐνικὴ ἐπικράτεια κεῖται, ἡ δευτέρα ἴσως μετὰ τὴν ὑπὸ τῶν ἀβάρων καταλυθεῖσαν, ἄγει τὴν ταχίςην τὴν ςρατιὰν ἐκεῖσε, καὶ δυσὶ μάχαις τὺς ῥϐμένϐς νικήσας, καὶ πεσόντος τῦ βοεβόδα ἐν τῇ δευτέρᾳ, καὶ πρὸς τρίτην τῶν ῥϐμένων ἀπειρηκότων, ἀναγορεύεται ἡγεμὼν αὐτῶν ὑπ' αὐτῶν τῶν ἰδίων ἡττημένων, καὶ ὁ βασιλεὺς τῶν μοαγγυόρων ἐπικυροῖ τὴν ἀναγόρευσιν, καὶ τῆς κατακτηθείσης χώρας ἀναδείκνυσιν ἡγεμόνα τὸν Θέϐτον. Αλλὰ τὸ πρᾶγμα ἑτεροίως πως δοκεῖ ἔχειν· οἱ γὰρ ῥϐμῦνοι καὶ μετὰ ταῦτα ἀνεξάρτητοι ἦσαν· καὶ ὁ Θέϐτος ϐ τῶν βορείων τῦ Γύλα, ἀλλ' ὧν βϐργαροι καὶ χαζάροι εἶχον τόπων ἀναδείκνυται καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γνωρίζεται ἡγεμών· καὶ πλάσματα πάντως χαμερπῶν καὶ ῥυπαρῶν καὶ ἀναιδῶν κολάκων τὰ λεγόμενα.

Αποθνήσκων δὲ ὁ Θέυτος τῷ υἱῷ Σάρκα τὴν ἀρχὴν καταλείπει, καὶ ἔτος αὖθις Γευλᾷ καὶ Σεβὸδ τοῖς παισὶν αὐτȣ̃ ταύτην διαμερίζει, Ο μὲν ȣ̃ν Γευλᾶς τῷ ἁγίῳ Στεφάνῳ βασιλεῖ τῆς Μοαγγυορίας ὡς θυγατριδῷ καταλείπει τὴν αὐτȣ̃ χώραν· ὁ δ᾽ ἀδελφὸς αὐτȣ̃ τὴν ἀρχηγεμονίαν τȣ̃ βασιλέως Στεφάνȣ ἀπαναινόμενος, ὑπ᾽ αὐτȣ̃ τὴν χώραν, κατὰ τὸν τρίτον ἐνιαυτὸν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος ἐξέρηται, καὶ ἐν δεσμωτηρίῳ ἀπέθανεν. Ουτω τοίνυν ἀμφότερα τὰ Μπανὰτ τῇ Μοαγγυορίᾳ προστίθενται, καὶ τὸ Γύλα, ἐκτὸς τȣ̃ περὶ τὸν Τισσὸν ἀρχόμενον μέρȣς, τȣ̃ Μαραμὸς, ὅπȣ ἡ ῥȣμȣνικὴ ἐπικράτεια ἐλευθέρα καὶ ἀνεξάρτητος ἐτύγχανε.

Συνέβη ἡ τȣ̃ Θεȣ́τȣ κατάκτησις καὶ ἡγεμονία, ἑνὸς τῶν ὀκτὼ φυλάρχων ἢ βοεβόδων πιθανῶς ὄντος, πρὸ τȣ̃ τεσσαρακοςȣ̃ ἐν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚΟΥΡΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νάτε ἐνιαυτοῦ τῆς δεκάτης ἑκατονταετηρίτος· ὁ γὰρ Πορφυρογέννητος ὁ ἐν τούτῳ τῷ χρόνῳ γράφων, φησὶν, ὅτι τὰ περὶ τὴν γέφυραν τοῦ Τραϊανοῦ, καὶ τὰ περὶ τὸν πύργον τοῦ ἁγίου Κωνςαντίνου, τοῖς τούρκοις εἰσὶν ὑπήκοα. Ἐνταῦθα ὁ συγγραφεὺς αὐτοκράτωρ τὸ σεβηρικὸν ἐννοεῖ Μπανὰτ, ὅπου καὶ ῥουμενικαὶ ἐπικράτειαι ἐτύγχανον, ἀμφισβητοῦσαι καὶ μοαγγυόροις καὶ καγγάροις καὶ κουμάνοις ἔπειτα τὴν σφετέραν ἀνεξαρτησίαν· ὁτὲ μὲν πάντως ὁμολογοῦσαι φόρον, ὁτὲ δὲ ἀπαναινόμεναι, καὶ ἀεὶ τὸν καιρὸν πολιτευόμεναι.

## Γ ε ο λ ᾶ ς.

Θούτου τοῦ τὰ δυτικὰ τῆς Ρουμενίας κατακτησαμένου, καὶ τὴν ἀρχὴν τῶν χαζάρων καὶ βουργάρων ἐκεῖ καταλύσαντος, ἔγγονος ἢ υἱιδοῦς ἐςιν ὁ Γεολᾶς, ὁ ἐς Κωνςαντινούπολιν ἱκόμενος, καὶ τὴν χριςιανικὴν θρησκείαν ἐναγκαλισάμενος, καὶ ἐπιςρέφων οἴκαδε, Ιερόθεον ἐπίσκοπον πρῶτον τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006